# ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΥΠΡΟΥ

## Ψ Η Φ Ι Σ Μ Α

Τύχῃ ἀγαθῇ
τοῦ Συμβουλίου
τῆς τῶν Θετικῶν τε καὶ Ἐφηρμοσμένων Ἐπιστημῶν Σχολῆς ὁμοφώνως
εἰπόντος,
τῇ Συγκλήτῳ τῷ τε Συμβουλίῳ ὁμοθύμως δέδοκται
ἐπειδὴ ἀνὴρ ἀγαθὸς

## ΔΗΜΗΤΡΙΟΣ ΧΡΙΣΤΟΔΟΥΛΟΥ ΛΑΜΠΡΟΥ ΥΙΟΣ

ᾧ τοιαῦτα ὠφελήματα Θεὸς δεδώρηται,
ἐξαιρέτου δε παιδείας τυχών,
τιμῶν μεγίστων λαχὼν ἐκ νεότητος ἐν Ἑλλάδι τε καὶ ἐν τῇ ἀλλοδαπῇ,
ἀείποτε ἐραστὴς λόγων, νοὸς καὶ ἐπιστήμης,
τὴν γεωμετρίαν καὶ τὰ περὶ τῶν λογισμῶν τε
καὶ φυσικῶν νόμων μεμελετηκώς,
ἔτι δε καὶ τὴν περὶ τῆς σχετικότητος θεωρίαν
καὶ τὴν μαθηματικὴν τῆς βαρυτικῆς καταρρεύσεως ἑρμηνείαν
ἀδιαλείπτως ἀποφαίνων,
ἐπὶ πλείω δε προάγων τὴν κατ' ἐπιστήμην ἐπιμέλειαν,
ἧς θεράπων διατελεῖ,
πανταχῇ ὑπὸ πάντων τετιμημένος,

δέδοκται

ἐπαινέσαι αὐτὸν καὶ διδάκτορα ἐπίτιμον ἀναγορεῦσαι,
τὸ δὲ ψήφισμα τόδε εἰς μεμβράναν ἀναγράψαι
καὶ τὸν κοσμήτορα ἐν τῇ αἰθούσῃ τῇ μεγάλῃ ἀναγνόντα,
τὸν δὲ πρύτανιν τὰς τιμὰς ἀνειπόντα
τῷ τιμωμένῳ εἰς βεβαίωσιν ἐπιδοῦναι.

**Ἐν Λευκωσίᾳ μηνὸς Μαΐου πρώτῃ καὶ τριακοστῇ**
**ἔτους τρίτου καὶ δισχιλιοστοῦ.**

ΠΡΥΤΑΝΙΣ

ΚΟΣΜΗΤΩΡ